# TEZAUR LITURGIC

## 27 MAI
## GHERASIM MIKRAGHIANANITUL

# SLUJBA SF.MĂRTURISITOR IOAN RUSUL DE LA PROCOPION

ATENA,2015


ΑΠΟϹΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗϹ ΕΚΚΛΗϹΙΑϹ ΤΗϹ ΕΛΛΑΔΟϹ

# ΜΝΗΜΗ ΤΟΥ ΝΕΟΥ ΟΣΙΟΥ,

# ΙΩΑΝΝΟΥ ΤΟΥ ΡΩΣΣΟΥ

# ΑΚΟΛΟΥΘΙΑ

## Ποίημα Γερασίμου Μοναχοῦ Μικραγιαννανίτου

### ΜΙΚΡΟΣ ΕΣΠΕΡΙΝΟΣ

Ιστώμεν στίχους δ' και ψάλλομεν τα εξής Προσόμοια του Αγίου.

Ήχος β' . Ότε εκ του ξύλου.

Ότε, παρ' εχθρών των δυσμενών, ήχθης ως αιχμάλωτος μάκαρ, στερρώ φρονήματι, τότε την ευγένειαν, της διανοίας σου, και ψυχής την λαμπρότητα, υπέδειξας πάσι, του Χριστού πτερούμενος, τω θείω έρωτι, χαίρων, γαρ τας θλίψεις υπέστης, και της ευσεβείας τον πλούτον, Ιωάννη άσυλον διέσωσας.

Ύμνους, και δεήσεις και ευχάς, άδων εν πολλή κατανύξει τω εν Τριάδι Θεώ, Ιωάννη Όσιε ως άλλος άγγελος, την ζωήν σου διήνυσας, εν ιπποστασίω, φως εν τη καρδία σου θείον δεχόμενος, όθεν, η ουράνιος δόξα, δέδεκται λαμπρώς θεοφόρε, ως Χριστού σε φίλον γνησιώτατον.

Άνωθεν φωτί στυλοειδεί, λάμποντι τω θείω σου τάφω, Χριστός εδήλωσε, της σης αγιότητος την θείαν έλλαμψιν, οι πιστοί δε κομίσαντες, το θείόν σου σκήνος, πλήρες θείας χάριτος σώον και

άφθαρτον, ήνεσαν Θεόν Ιωάννην, τον σε θαυμαστώσαντα κόσμω, δωρεαίς θαυμάτων και δυνάμεσι.

Χαίρει, ώσπερ θείον θησαυρόν, νήσος της Ευβοίας δεχθείσα, το θείον σκήνός σου, εξ εώας Όσιε, μετενεχθέν ευσεβώς, ιατρείον γαρ δέδεικται, πάσης ασθενείας, και παρέχει άπασι, χάριν και έλεος, όθεν, ευσεβώς αι χορείαι, τούτω ευλαβώς προσιούσαι, πάσης απαλλάτονται κακώσεως.

Δόξα. Ήχος δ’ .

Ολοσχερώς Χριστώ ανακείμενος, ουδαμώς συνεσχέθης, ταις ευρούσαις σε θλίψεσιν, αλλά θεόφρονι νοΐ, της αιχμαλωσίας τα δεινά, ως ευσεβείας αγώνα εδέξω. Και ως χρυσός δοκιμασθείς, εν τω πυρί των πειρασμών, υπέρ ήλιον έλαμψας, ομολογία της πίστεως. Δι’ ης Ιωάννη Όσιε, λαμπρώς εμεγαλύνθης, και πάσι παρέχεις, τα προς σωτηρίαν αιτήματα, τοις προσιούσι τη πρεσβεία σου.

Και νυν. Της εορτής.

Απόστιχα. Ήχος β’ . Οίκος του Εφραθά.

Πίστεως τω φωτί, λαμπρύνων σου τον βίον, θεόφρον Ιωάννη, του σκότους τον προστάτην, εις τέλος καταβέβληκας.

Στ.: Τίμιος εναντίον Κυρίου ο θάνατος του Οσίου Αυτού.

Ήνεγκας καρτερώς, πικράν αιχμαλωσίαν, θεόφρον Ιωάννη, και πάσαν του Βελίαρ, κακίαν ηχμαλώτισας.

Στ.: Μακάριος ανήρ ο φοβούμενος τον Κύριον.

Βρύει ως αληθώς, θαυμάτων θεία ρείθρα, το λείψανόν σου Πάτερ, και πάσαν αγιάζει, την Εύβοιαν εν Πνεύματι.

Δόξα. Τριαδικόν.

Φέγγει Τριαδικώ, τον νουν Σου ανατείνων, αμέμπτω πολιτεία, θεόφρον Ιωάννη, περιφανώς δεδόξασαι.

Και νυν. Θεοτοκίον.

Λόγος ο του Θεού, εκ Σου λαβών Παρθένε, την των βροτών ουσίαν, αξίως μεγαλύνει, τους εαυτού θεράποντας.

Νυν απολύεις. Τρισάγιον.

Απολυτίκιον. Ήχος δ’ . Ταχύ προκατάλαβε.

Εκ γης ο καλέσας σε προς ουρανίους μονάς, τηρεί και μετά θάνατον αδιαλώβητον, το σκήνός σου Όσιε, συ γαρ εν τη Ασία, ως αιχμάλωτος ήχθης, ένθα και ωκειώθης, τω Χριστώ Ιωάννη. Αυτόν ουν ικέτευε, σωθήναι τας ψυχάς ημών.

Δόξα. Και νυν. Της εορτής.

Απόλυσις.

## ΜΕΓΑΣ ΕΣΠΕΡΙΝΟΣ

Μετά τον Προοιμιακόν, το Μακάριος ανήρ. Εις δε το Κύριε εκέκραξα, ιστώμεν στίχους στ’ , και ψάλλομεν τα εξής Προσόμοια.

Ήχος δ’ . Ως γενναίον εν Μάρτυσιν.

Ως θεράποντα ένθεον, του Χριστού ευφημούμέν σε, και της θείας χάριτος σκεύος εύχρηστον, προσηγορία γαρ Όσιε, τοις πάσιν υπέφηνας, της αγίας σου ζωής, τα λαμπρά κατορθώματα, και τας

χάριτας, τας πολλάς ας θεόθεν εκομίσω, δι’ ων κόσμω διαλάμπεις, ω Ιωάννη τοις θαύμασι.

Ως απήχθης αιχμάλωτος, και το σώμα δεδούλωσαι, την ψυχήν αδούλωτον διετήρησας, ερηρεισμένος τοις δόγμασι, της πίστεως Όσιε, και ηγώνισαι στερρώς, τα ονείδη και σκώμματα, γνώμη κρείττονι, των απίστων ως θείας αναβάσεις, υπομένων Ιωάννη, όθεν αξίως δεδόξασαι.

Του Ιώβ την ανένδοτον, καρτερίαν μιμούμενος, ακλινής και άσειστος θείω Πνεύματι, ταις επελθούσαις κακώσεσι, και θλίψεσιν έμεινας, και εν κόπρω την ζωήν, διανύων πεπλήρωσαι, οσμής κρείττονος, και πολλής ευωδίας ουρανόθεν, Ιωάννη θεοφόρε, της χορηγίας της χάριτος.

Ουρανόθεν ο Κύριος, ήνπερ έσχες λαμπρότητα, εν στύλω υπέδειξε φωτός άπασιν, επί του τάφου σου Όσιε, εξ ου το σον λείψανον, ως πηγήν αγιασμού, οι πιστοί εκκομίσαντες, χάριν άφθονον, εξ αυτού καθ’ εκάστην Ιωάννη, κομιζόμεθα υμνούντες, τον σε λαμπρώς θαυμαστώσαντι.

Εξ εώας το σώμα σου, ως θησαύρισμα άγιον, Ευβοείς εδέξαντο αγαλλόμενοι, ω ευλαβώς προσερχόμενοι, λαμβάνομεν Άγιε, ων δεόμεθα πιστώς, αλλά δίδου εκάστοτε, χάριν άνωθεν, Ιωάννη τη νήσω της Ευβοίας, και απάση τη Ελλάδι, ταις προς Θεόν ικεσίαις σου.

Το της χάριτος σκήνωμα, της Ρωσίας το βλάστημα Ιωάννην άπαντες τον θεόληπτον, ασματικώς μακαρίσωμεν· πάλαι εν εώα

γαρ, ως αστήρ νεοφανής, τους πιστούς κατεφώτιζε, νυν δε άπασαν, αγιάζει την νήσον της Ευβοίας, τω αγίω αυτού σκήνει, χαριτωθέντι εν Πνεύματι.

Δόξα. Ήχος πλ. β' .

Σήμερον, ο της χάριτος επώνυμος, Ιωάννης ο Όσιος, ο της Ρωσίας περιφανής βλαστός, ομολογίας το φως πυρσεύει, τη ενδόξω αυτού μνήμη. Θεοπρεπώς γαρ δοξασθείς, πάντας συγκαλείται προς μετουσίαν των κρειττόνων, τους προς αυτόν βοώντας· χαίροις, ο της αληθείας τον χιτώνα λαμπρότερον δείξας τοις σκάμμασι, και του ψεύδους το κράτος, θριαμβεύσας τοις άθλοις· χαίροις, των πάλαι Αγίων ισότιμος ως παθών του Χριστού μιμητής και σύμμορφος· χαίροις, της Εκκλησίας νέα λαμπηδών, της Ευβοίας καύχημα, και της Ελλάδος πάσης πρεσβευτής θερμός προς Κύριον. Ω πρέσβευε εκάστοτε Άγιε, σώζεσθαι τους σε μακαρίζοντας.

Και νυν. Της εορτής.

Είσοδος. Φως ιλαρόν. Αναγνώσματα.

Σοφίας Σολομώντος το Ανάγνωσμα. (Κεφ. Γ', 1-9).

Δικαίων ψυχαί εν χειρί Θεού, και ου μη άψηται αυτών βάσανος. Έδοξαν εν οφθαλμοίς αφρόνων τεθνάναι, και ελογίσθη κάκωσις η έξοδος αυτών, και η αφ΄ ημών πορεία σύντριμμα, οι δε εισιν εν ειρήνη. Και γαρ εν όψει ανθρώπων εάν κολασθώσιν, η ελπίς αυτών αθανασίας πλήρης. Και ολίγα παιδευθέντες μεγάλα ευεργετηθήσονται · ότι ο Θεός επείρασεν αυτούς και εύρεν αυτούς

αξίους εαυτού. Ως χρυσόν εν χωνευτηρίω εδοκίμασεν αυτούς και ως ολοκάρπωμα θυσίας προσεδέξατο αυτούς. Και εν καιρώ επισκοπής αυτών αναλάμψουσι και ως σπινθήρες εν καλάμη διαδραμούνται. Κρινούσιν έθνη και κρατήσουσι λαών, και βασιλεύσει αυτών Κύριος εις τους αιώνας. Οι πεποιθότες επ΄ αυτώ συνήσουσιν αλήθειαν, και οι πιστοί εν αγάπη προσμενούσιν αυτώ, ότι χάρις και έλεος εν τοις οσίοις αυτού, και επισκοπή εν τοις εκλεκτοίς αυτού.

Σοφίας Σολομώντος το Ανάγνωσμα.(Κεφ. Δ΄, 7-15).

Δίκαιος, εάν φθάση τελευτήσαι, εν αναπαύσει έσται. Γήρας γαρ τίμιον ου το πολυχρόνιον ουδέ αριθμώ ετών μεμέτρηται. Πολιά δε εστι φρόνησις ανθρώποις και ηλικία γήρως βίος ακηλίδωτος. Ευάρεστος τω Θεώ γενόμενος ηγαπήθη και ζων μεταξύ αμαρτωλών μετετέθη. Ηρπάγη, μη κακία αλλάξη σύνεσιν αυτού η δόλος απατήση ψυχήν αυτού· βασκανία γαρ φαυλότητος αμαυροί τα καλά, και ρεμβασμός επιθυμίας μεταλλεύει νουν άκακον. Τελειωθείς εν ολίγω επλήρωσε χρόνους μακρούς· αρεστή γαρ ην Κυρίω η ψυχή αυτού· δια τούτο έσπευσεν εκ μέσου πονηρίας. Οι δε λαοί ιδόντες και μη νοήσαντες, μηδέ θέντες επί διανοία το τοιούτον, ότι χάρις και έλεος εν τοις εκλεκτοίς αυτού και επισκοπή εν τοις οσίοις αυτού.

Σοφίας Σολομώντος το Ανάγνωσμα.

(Κεφ. Ε΄, 15-23 & Στ΄, 1-3).

Δίκαιοι εις τον αιώνα ζώσι, και εν Κυρίω ο μισθός αυτών, και η φροντίς αυτών παρά Υψίστω. Δια τούτο λήψονται το βασίλειον της ευπρεπείας, και το διάδημα του κάλλους εκ χειρός Κυρίου, ότι τη δεξιά αυτού σκεπάσει αυτούς, και τω βραχίονι υπερασπιεί αυτών. Λήψεται πανοπλίαν, τον ζήλον αυτού, και οπλοποιήσει την κτίσιν εις άμυναν εχθρών. Ενδύσεται θώρακα, δικαιοσύνην, και περιθήσεται κόρυθα, κρίσιν ανυπόκριτον. Λήψεται ασπίδα ακαταμάχητον, οσιότητα· οξυνεί δε απότομον οργήν εις ρομφαίαν· συνεκπολεμήσει αυτώ ο κόσμος επί τους παράφρονας. Πορεύσονται εύστοχοι βολίδες αστραπών, και ως από ευκύκλου τόξου των νεφών, επί σκοπόν αλούνται, και εκ πετροβόλου θυμού πλήρεις ριφήσονται χάλαζαι. Αγανακτήσει κατ΄ αυτών ύδωρ θαλάσσης, ποταμοί δε συγκλύσουσιν αποτόμως. Αντιστήσεται αυτοίς πνεύμα δυνάμεως και λαίλαψ εκλικμήσει αυτούς· και ερημώσει πάσαν την γην ανομία, και η κακοπραγία περιτρέψει θρόνους δυναστών. Ακούσατε ουν βασιλείς και σύνετε· μάθετε δικασταί περάτων γης. Ενωτίσασθε οι κρατούντες πλήθους, και γεγαυρωμένοι επί όχλοις εθνών· ότι εδόθη παρά Κυρίου η κράτησις υμίν, και η δυναστεία παρά Υψίστου.

ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ. Ήχος α’ .

Ευφραίνου εν Κυρίω η νήσος Εύβοια, λαμπρυνομένη τοις θαύμασιν Ιωάννου του Οσίου, του ηγιασμένου του Χριστού

θεράποντος. Και το θείον αυτού σκήνος, ως θησαυρόν πλουτούσα της εξ αυτού προϊούσης χάριτος, ταις δωρεαίς πλουτίσθητι. Πάσι γαρ παρέχει ίασιν σωμάτων και ψυχών, και πόνων απαλλαγήν, και πάσαν άλλην δόσιν σωτήριον. Αλλ' ω τρισμάκαρ Ιωάννη, πλήρου ημών τας αιτήσεις, και τω θείω θελήματι, την νεολαίαν κατεύθυνον.

Ήχος β' .

Ομολογίας αγώσι, την ζωήν εφαίδρυνας, μη δουλωθείς τω φρονήματι, αιχμαλωσίας συνοχή, Ιωάννη μακάριε, αλλ' ελευθέρα γνώμη, εν αληθεία και οσιότητι λατρεύων Χριστώ, κακουχίας είλου, η πρόσκαιρον έχειν, αμαρτίας απόλαυσιν. Και του Σωτήρος τοις στίγμασι, καλλωπίσας σεαυτόν, υπέρ ήλιον έλαμψας, εναρέτω πολιτεία, ένθεν πάσιν αιδέσιμος, δι' αρετής εφάνης και πολέμιοι ηγάσθησαν, την σων τρόπω χρηστότητα. Το γαρ Άγιον Πνευμα, εν σοι επανεπαύσατο, δι' ου πάσι προστάτης, ευρίσκη ταχύτατος.

Ήχος γ' .

Την καθαράν πολιτείαν σου, και τους οσίους καμάτους, ως θυσίαν άμωμον, και θυμίαμα ευπρόσδεκτον, ο της δόξης Κύριος δεξάμενος, θαυμαστώς σε εδόξασεν Ιωαννη χαριτώνυμε. Πάσι γαρ παρέχεις, σωτηρίους δόσεις, ως του Σωτήρος μιμητής. Και εφ' ίππου οραθείς, ληστρικής χειρώσεως, τους οδοιπόρους έσωσας. Και κατ' όντας και ύπαρ φαινόμενος, τοις εν ανάγκαις βοηθείς, τους εν λύπαις παραμυθούμενος. Διο την δοθείσάν σοι χάριν κηρύττομεν, φαιδρώς εορτάζοντες την αγίαν μνήμην σου.

Ήχος δ' .

Τον αόρατον εχθρόν, τοις ποσί κατεπάτησας, τον την αιχμαλωσίαν σοι τεκτηνάμενον Ιωάννη Όσιε. Της εν Χριστώ γαρ ελευθερίας, τα αγαθά προφαίνων, ουδόλως εκάμφθης τυραννικαίς βουλαίς, και της ευσεβείας τον θησαυρόν, άσυλον εφυλαξας, τω της ψυχής ταμείω. Και ως χρυσός εν καμίνω δοκιμασθείς ταις ποικίλαις θλίψεσι πολλών θαυμάτων ενέργειαν, παρά Χριστού εδέξω θαυμάτων ενέργειαν, παρά Χριστού εδέξω, του παρέχοντος δια σου, ημίν το μέγα έλεος.

Δόξα. Ήχος πλ. α' .

Χαρμοσύνως σήμερον Θεώ, η των Προκοπέων πόλις σκιρτώσα βόησον · ελαμπρύνθη μου το κάλλος, υπέρ πάσαν άλλην πόλιν των ενθάδε· ιδού γαρ ο της Ρωσσίας θείος γόνος, και το των Οσίων μέγα κειμήλιον, Ιωάννης ο όντως χαριτώνυμος, την πορείαν προς τον Ουρανόν εποιήσατο, καταλιπών μοι σεμνολόγημα, το αυτού άγιον σκήνος. Δεύρο δη μοι άπαν το σύστημα των Ορθοδόξων εορτάσωμεν αυτού την θείαν μνήμην, ίνα και της αυτού κοινωνήσωμεν χάριτος. Του πρεσβεύοντος υπέρ των ψυχών ημών.

Και νυν. Της εορτής.

Εις τον στίχον. Ήχος πλ. α' . Χαίροις ασκητικών.

Χαίρων, τη αγαπήσει Χριστού, αιχμαλωσίας της πικράς πάσαν κάκωσιν, ανδρεία υπέστης γνώμη, και του εχθρού την οφρύν, θεολήπτω βίω εταπείνωσας, εντεύθεν πεπλήρωσαι, ουρανίων ελλάμψεων, τον νουν καθάρας, προσευχαίς και δεήσεσι, και

νεκρώσας σου, της σαρκός τα φρονήματα, όθεν προς ατελεύτητον, ζωήν μεταβέβηκας, καλώς τελέσας τον δρόμον, ομολογίας της κρείττονος, σοφέ Ιωάννη, των Αγγέλων συμπολίτα και ισοστάσιε.

Στ.: Τίμιος εναντίον Κυρίου ο θάνατος του Οσίου Αυτού.

Στύλω, φωτοειδεί ο Θεός, την σην λαμπρότητα τοις πάσιν υπέδειξεν, εντεύθεν από του τάφου, μετ' ευλαβείας πολλής, το δεδοξασμένον Πάτερ σώμα σου, πιστοί συνεκόμισαν, ως αγίασμα ένθεον, καθαγιάζον, τας ψυχάς και τα σώματα, τη του Πνεύματος, ενεργεία και χάριτι, ώπερ πιστώς προσπίπτοντες, βοώμέν σοι Όσιε· δίδου ημίν Ιωάννη, την σην ταχείαν αντίληψιν, τη ση νεολαία, φωτισμόν και θείον φόβον, αεί δωρούμενος.

Στ.: Μακάριος ανήρ ο φοβούμενος τον Κύριον.

Πάλαι, εν τη εώα σοφέ, το θείον σκήνός σου πιστούς καθηγίαζε, παρέχον ενί εκάστω, τας σωστικάς δωρεάς, τη σοι δεδομένη Πάτερ χάριτι, νυν τούτο δε Όσιε, καταλάμπει τοις θαύμασι, νήσον Ευβοίας, και Ελλάδα την σύμπασαν, ενεργήμασι, των απείρων ιάσεων, όθεν τοις τούτω σπεύδουσιν, αεί δίδου Άγιε, και εξαιρέτως τοις νέοις, την θαυμαστήν οδηγίαν σου, ως αν Ιωάννη, προσαγάγωμεν Κυρίω, βίον ευπρόσδεκτον.

Δόξα. Ήχος πλ. δ' .

Της ευσεβείας τω φωτί, καταλαμπρύνας τον βίον, ομολογητής νέος ώφθης Ιωάννη Όσιε. Τω θεμελίω γαρ της πίστεως, ακλινώς ιδρυμένος, της αγάπης του Χριστού ουδόλως σεσάλευσαι, κατά Παύλον τον μέγαν. Και καλώς αγωνισάμενος, της αιωνίου ζωής τον

στέφανον, παρά Χριστού εδέξω, του παρέχοντος πάσιν, ειρήνην και το μέγα έλεος.

Και νυν. Της εορτής.

Νυν απολύεις. Τρισάγιον.

Απολυτίκιον. Ήχος δ’ . Ταχύ προκατάλαβε.

Εκ γης ο καλέσας σε προς ουρανίους μονάς, τηρεί και μετά θάνατον αδιαλώβητον, το σκήνός σου Όσιε, συ γαρ εν τη Ασία, ως αιχμάλωτος ήχθης, ένθα και ωκειώθης, τω Χριστώ Ιωάννη. Αυτόν ουν ικέτευε, σωθήναι τας ψυχάς ημών.

Έτερον. Ήχος γ’ . Θείας πίστεως.

Θείας πίστεως, το φως κατέχον, πικράν ήνεγκας, αιχμαλωσίαν, Ιωάννη και οσίως εβίωσας, όθεν το θειόν σου λείψανον Άγιε, θαυματουργίας πηγάζει εν Πνεύματι, ω προστρέχοντες, υμνούμεν τον σε δοξάσαντα, τιμώντες τα σεπτά σου προτερήματα.

Δόξα. Έτερον. Ήχος α’. Του λίθου σφραγισθέντος.

Ρωσσίας σου καυχάται των σπαργάνων η πάτριος, και η Ασιάτις γη χαίρει, τω αγίω λειψάνω σου, εν η ως αιχμάλωτος αχθείς, υπέστης δεινών επιφοράς, και βιώσας εν ασκήσει, μύστης Θεού γεγένησαι ω Ιωάννη· δόξα τω σε δοξάσαντι Χριστώ, δόξα τω σε θαυμαστώσαντι, δόξα τω σε προστάτην κραταιόν ημίν δωρήσαντι.

Και νυν. Της εορτής.

Απόλυσις.

**ΟΡΘΡΟΣ**

Μετά την α’ στιχολογίαν,

κάθισμα. Ήχος α’ . Τον τάφον Σου Σωτήρ.

Αιχμάλωτος αχθείς εν Ασία θεόφρον, ισάγγελον ζωήν, εν δουλεία μετήλθες, διο η των Αγγέλων σε, μετά τέλος το άγιον, δόξα δέδεκται, και η χαρά των Αγίων, μεθ’ ων πρέσβευε, υπέρ ημών Ιωάννη, των πόθω τιμώντων σε.

Δόξα. Όμοιον.

Οσίων ο χορός την σην μνήμην θεόφρον, εν ύμνοις και ωδαίς, Ιωάννη τιμώσι, προσθήκην γαρ εδέξαντο, σου το πνεύμα μακάριε, όθεν σήμερον, και η Χριστού Εκκλησία, μεγαλύνει σε, δοξολογούσα ενθέως, τον σε θαυμαστώσαντα.

Και νυν. Της εορτής.

Μετά την β’ στιχολογίαν, κάθισμα. Ήχος γ’ . Την ωραιότητα.

Παθη του σώματος, θεομακάριστε, Πάτερ εξήρανας, δακρύων ρεύμασι, και των θαυμάτων ποταμούς ανέβλυσας Ιωάννη, όθεν προσερχόμενοι, τω τιμίω λειψάνω σου, χάριν τε και έλεος, προφανώς αρυόμεθα, τιμώντές σου την μνήμην αξίως, και τον δοξάσαντά σε Κύριον.

Δόξα. Όμοιον.

Όλον εκόσμησας, μάκαρ τον βίον σου, και υπερκόσμιος, όλος συ γέγονας, καθάπερ άσαρκος σαρκί, και άνθρωπος ουρανόφρων, όθεν ικεσίας σου, Ιωάννη μακάριε, κόσμησον και κάθαρον, εκ του

ρύπου των έργων μου, τον πίστει την αγίαν σου μνήμην, ψαλμοίς και ύμνοις μεγαλύναντα.

Και νυν. Της εορτής.

Μετά τον Πολυέλεον,

κάθισμα. Ήχος πλ. δ’ . Την Σοφίαν και Λόγον.

Ευσεβείας τοις τρόποις κραταιωθείς, και αμέμπτως ανύων σου την ζωήν, ουδόλως επτόησαι, ασεβούντων την δύναμιν, αλλά τυράννοις ώφθης, αιδέσιμος Όσιε, ηθών τη ευγενεία, και βίου λαμπρότητι, όθεν μετά τέλος, ατελεύτητον δόξαν, αξίως κεκλήρωσαι, και Αγγέλοις ηρίθμησαι, Ιωάννη ισάγγελε. Πρέσβευε Χριστώ τω Θεώ, των πταισμάτων άφεσιν δωρήσασθαι, τοις εορτάζουσι πόθω την αγίαν μνήμην σου.

Δόξα. Και νυν. Της εορτής.

Το α’ ἀντίφωνον του δ’ ήχου.

Προκείμενον: Τίμιος εναντίον Κυρίου ο θάνατος του Οσίου Αυτού.

Στ.: Μακάριος ανήρ ο φοβούμενος τον Κύριον, εν ταις εντολαίς Αυτού θελήσει σφόδρα.

Ευαγγέλιον, το εν τω όρθρω του Αγ. Αντωνίου.

Ο Ν ψαλμός.

Δόξα: Ταις του Σου Οσίου...

Και νυν: Ταις της Θεοτόκου...

Ιδιόμελον. Ήχος πλ. β’ . Στ.: Ελεήμον, ελέησόν με ο Θεός...

Όλω νοΐ, Κυριω ατενίζων, τα της αιχμαλωσίας δεινά, μεγαλόφρονι ψυχή υπέμεινας, ως αφορμάς ζωής αϊδίου, Ιωάννη μακάριε, και τον επελθόντα σοι βελίαρ, εντέχνως καταβαλών, τω ξύλω της ζωής αποκατέστης, θεωθείς κατά μέθεξιν. Αυτής και ημάς αξίωσον, ταις προς Θεόν πρεσβείαις σου, δεόμεθα Άγιε.

Οι κανόνες· της εορτής· και των Αγίων β’ .

Ο α’ κανών. Ωδή α’ . Ήχος β . Δεύτε λαοί.

Ύμνοις την σην, φαεινοτάτην πανήγυριν, ανευφημείν ορμήσαντι, φως μοι κατάπεμψον, παρεστώς στεφηφόρος, τω θρόνω του Δεσπότου μακαριώτατε.

Μέλη σοφέ, νεκρώσας πάντα του σώματος, εν τη καρδία έσχηκας, Χριστόν νεκρώσαντα, τον αρχέκακον όφιν, και την βροτείαν φύσιν απολυτρώσαντα.

Νόμον Χριστού, εμμελετήσας θεσπέσιε, δένδρον ζωής, κατάκαρπον αρεταίς δέδειξαι, προβαλλόμενος χάριν των θείων ιαμάτων τοις σε δοξάζουσι.

Θεοτοκίον.

Μετά Θεόν, σε βοηθόν ακαταίσχυντον, και προστασίαν άμαχον, και αντιλήπτορα και φρουρόν, και μεσίτην Παρθένε κεκτημένοι, κράζω σοι· σώσόν με.

Έτερος, ου η ακροστιχίς: Ιωάννη μέλισμα τω εκ Ρωσίας. Γερασίμου.

Ωδή α’ . Ήχος α’ . Αναστάσεως ημέρα.

Ισχύν θείαν μοι παράσχου, εν τω λόγω Χριστέ, μέλψαι τας αριστείας, και αρετών τον ορμαθόν, Ιωάννού του κλεινού, Ρωσίας βλαστού, του σε μεγαλύναντος, δια βίου λαμπρότητος.

Ως ημέρα ευφροσύνης, πλήρης θείου φωτός, ώφθη τη Εκκλησία, η ση αγία εορτή, Ιωάννη θαυμαστέ, ην πάντες πιστοί, φαιδρώς εορτάζοντες, ψυχικώς αγαλλόμεθα.

Άνω έχων σου το όμμα, της ψυχής ακλινώς, ήνεγκας ανενδότως, αιχμαλωσίαν την πικράν, και εχθρόν τον νοητόν, ζωή καθαρά, στερρώς ηχμαλώτευσας, Ιωάννη μακάριε.

Θεοτοκίον.

Νέον βρέφος εκ γαστρός Σου, τον προ πάντων Θεόν, τέτοκας απορρήτως, νεοποιούντα εκ φθοράς, την ουσίαν των βροτών, Παρθένε Αγνη, διο ως αιτίαν Σε, σωτηρίας δοξάζομεν.

Ωδή γ’ . Στερέωσον ημάς.

Εξέλαμψεν ο βίος σου Όσιε, ολολαμπής ως ήλιος εν τω κόσμω, ταις ευχαίς σου ουν διάσωσον, τους εν πίστει και πόθω, σε γεραίροντας.

Ιάσεις ενεργών Πάτερ Όσιε, και δαιμόνων διαλύων την πλάνην, σωτηρίας πάσιν αίτιος, τοις πλουτούσι, και προστάτης γεγόνας.

Νυσταγμόν βλεφάρων απωσάμενος, τας ατάκτους εκοίμησας Ιωάννη, δυσηνίου ορμάς σώματος, ταις προς Θεόν παννύχοις ικεσίαις σου.

Θεοτοκίον.

Σαλεύθητι ψυχή καρδία πείσθητι, και όλον δονήθητί μου το σώμα, επιτάφιον θρηνήσωμεν, την Μητέρα Θεού, καθικετεύοντες.

Έτερος. Δεύτε πόμα πίωμεν.

Νόμοις πεφραγμένος του Χριστού, των ανόμων ουκ έπτηξας τα φρυάγματα, αλλ’ εν γαλήνη ψυχής, ως δούλος υπήκοος Χριστού, την δουλείαν ήνεγκας.

Ήσχυνας τον δόλιον εχθρόν, Ιωάννη θεόφρον, τη ταπεινώσει σου, αιχμαλωσίας πικράς, τους πόνους και θλίψεις τας πολλάς, φέρων ως ασώματος.

Μένων ουρανίω λογισμώ, μετά ζώων αλόγων το ιπποστάσιον, στάδιον άθλων σεπτών, έδειξας ζωή ασκητική, Ιωάννη Όσιε.

Θεοτοκίον.

Έλαμψεν εκ Σου σωματικώς, ο ανέσπερος Ήλιος Αειπάρθενε, Χριστός ο πάντων Θεός, και έλυσε σκότος χαλεπόν, πάσης παραβάσεως.

Κάθισμα. Ήχος δ’ . Ταχύ προκατάλαβε.

Ασκήσεως σκάμματι καταυγασθείς την ψυχήν, τοις πάσιν υπέδειξας, την κεκρυμμένην εν σοι, του Πνεύματος έλλαμψιν, όθεν περικυκλούντες, το σον άγιον σκήνος, μέλπομεν Ιωάννη, τους σεπτούς σου αγώνας, δι’ ώνπερ ευηρέστησας, τω σε θαυμαστώσαντι.

Δόξα. Όμοιον.

Αγνείας τοις άνθραξι προκαθαρθείς την ψυχή, το σώμα εστόμωσας, προς απαθείας ισχύν, Ιωάννη μακάριε, όθεν και των λειψάνων, η αιδέσιμος λάρναξ, νόσους αποδιώκει, και φωτίζει τους πίστει, αεί προσερχομένους σοι, και ευφημούντάς σε.

Και νυν. Της εορτής.

Ωδή δ' . Εισακήκοα Κύριε.

Σεαυτόν κατεκάλλυνας, σαρκός νεκρώσας το φρόνημα, δια και προς τα Ουράνια εχώρησας.

Εμιμήσω θεσπέσιε, τον κείμενον Ιώβ επί κοπρίας, κατοικίαν έχων, σοφέ το ιπποστάσιον.

Των παθών τα ορμήματα, σοφώς ηχμαλώτισας Ιωάννη, τοις Αγαρηνοίς γενόμενος αιχμάλωτος.

Θεοτοκίον.

Καταλάμπρυνον Άχραντε, την ζοφεράν ψυχήν μου τω φωτί Σου, η το φως τεκούσα το ενυπόστατον.

Έτερος. Επί της θείας φυλακής.

Λαμπρυνομένη τω φωτί, των σων θαυμάτων των πολλών, σπεύδει τω σεπτώ σου λειψάνω, Ιωάννη Όσιε, πανευλαβώς η Εύβοια, και πάσαν εξ αυτού ευλογίαν, και ευφροσύνην κομίζεται τιμώσά σε.

Ιδόντες σου την βιοτήν, και την πτωχείαν την πολλήν, οι Αγαρηνοί Ιωάννη, σφόδρα ηυλαβήθησαν, ηθών σου την σεμνότητα, και δούλόν σε του Θεού και οικείον, διαπρυσίως κηρύττοντες εδόξαζον.

Σώμα το σον δουλαγωγών, εν παννυχίοις προσευχαίς, ακί δακρύων ρείθροις καθαίρων, ψυχής σου την κατάστασιν, επλήσθης θείας χάριτος, και σκεύος εκλεκτόν Ιωάννη, της Παναγίας Τριάδος εχρημάτισας.

Θεοτοκίον.

Μη καταφλέξας ο Σωτήρ, τω της Θεότητος πυρί, Κόρη την Σην άχραντον μήτραν, σαρξ εκ Σου γεγένηται, και την απάτην άφλεξεν, η βάτος γαρ εν Σιναίω τω όρει, τον Σον ανέκφραστον τόκον προεδήλωσε.

Ωδή ε' . Ο φωτισμός.

Ο φωτισμός των εν σκότει κειμένων, λάμψον μοι αίγλην θείαις του Οσίου σου ικεσίαις, λύσον τα νέφη της αθλίας ψυχής μου, όμβρισόν μοι ρείθρα αφέσεως, άλλον γαρ εκτός σου, Θεόν ουκ επίσταμαι.

Λύμης παθών, εκκαθάρας το όμμα της διανοίας, Πάτερ Ιωάννη, δι' εγκρατείας θεία εντεύξει διανοίξαι και ημών, πηρωθείσας τας κόρας σπεύσον, όπως θεαρέστως, εν τη παρούση ζωή βιώσωμεν.

Μέγα εν σοι, και εξαίσιον θαύμα οράται Πάτερ, πως μετά κηδείαν όντως χρονίαν, διατηρείται αδιαφθόρον, μάκαρ σου το σώμα, εν τάφω κείμενον, αλλ' ούτω δοξάζει, τους Αυτόν αντιδοξάζοντας Κύριος.

Θεοτοκίον.

Συνεκτικός, κατ' ουσίαν υπάρχων ο Θεός Λόγος, πάντων των αιώνων εν τη γαστρί Σου, Παρθενομήτορ, συνεσχέθη αφράστως,

τους ανθρώπους ανακαλούμενος, προς το ενικόν, της μιας Κυριότητος.

Έτερος. Ορθρίσωμεν όρθρου βαθέος.

Ασκήσει νεκρώσας το σώμα, και μετά ζώων αλόγων, την οίκησιν έχων Πάτερ, πάθη αλογώτατα, τω λογισμώ υπέταξας, και ζωής αλήκτου ηξίωσαι.

Τον νουν ανύψωσας Κυρίω, ολονυκτίους δεήσεις, προσήγες τω Ζωοδότη Ιωάννη Όσιε, ώσπερ τρυφήν ηγουμένος, την μετά των ίππων συνοίκησιν.

Ως έγνωσας Πάτερ την χάριν, ην εκ Θεού εκομίσω, απόγονοι οι της Άγαρ, σφόδρα σε ηγάσθησαν, εν παραδόξω τρόπω γαρ, πόρρω το έδεσμα ήγαγες.

Θεοτοκίον.

Εκ πάσης κακίας με ρύσαι, και επηρείας και πλάνης, του όφεως Θεοτόκε, και φωτί με λάμπρυνον, της καθαράς βιώσεως, οία θερμή προστασία μου.

Ωδή στ'.Εν αβύσσω πταισμάτων καλούμενος.

Ως πολύτιμος όλβος κρυπτόμενος, Πάτερ ευσεβέσιν εφάνης οράματι, και δαδουχείς εν θαύμασι, και βραβεύεις ιάσεις τοις δούλοις σου.

Ώσπερ φοίνιξ ανθήσας ανέτειλας, εν τη Εκκλησία Χριστού χαριτώνυμε, τη των καρπών γλυκύτητι, κατευφραίνων πιστών τα πληρώματα.

Ιερώς σου τον βίον διήνυσας, και μετα Οσίων οσίως εσκήνωσας, υπέρ ημών δεόμενος, των πιστώς Ιωάννη τιμώντων σε.

Θεοτοκίον.

Της αμέτρου πορώσεως ρύσαί με, τον κεκρατημένον πολλοίς πλημμελήμασι, Θεοκυήτορ Δέσποινα, και χειρός με δαιμόνων εξάρπασον.

Έτερος. Κατήλθες εν τοις κατωτάτοις.

Καμάτοις, και εν κακουχίαις πολλαίς, της πικράς αιχμαλωσίας παμμάκαρ, διήλθες την σην οσίαν ζωήν, και συνένταξαι, των Οσίων τοις χοροίς, Ιωάννη θεόφρον.

Ρημάτων, του Ευαγγελίου σοφέ, πληρωτής καθαρωτάτη καρδία εγένου, εν ταπεινώσει και γαρ, και πραότητι, και πτωχεία αληθεί, Ιωάννη εκλάμπεις.

Ως πλήρης, των πνευματικών αρετών, την ζωήν σου διανύσας μετέστης, παμμάκαρ προς ουρανίους σκηνάς, το δε σώμά σου, καταλέλοιπας ημίν, ως θησαύρισμα θείον.

Θεοτοκίον.

Σαρκός μου, τας θανατηφόρους ορμάς, απονέκρωσον εις τέλος Παρθένε, εφέσει της εναρέτου ζωής, και καταύγασον, μετανοίας τω φωτί, της ψυχής μου το όμμα.

Κοντάκιον. Ήχος γ’ . Η Παρθένος σήμερον.

Εύσεβείας δόγμασι, εντεθραμμένος θεόφρον, ακλινώς υπεμεινας, αιχμαλωσίας τας θλίψεις, όθεν σε, ο Ζωοδότης

λαμπρώς δοξάσας, δέδωκε, πιστοίς το τίμιον λείψανόν σου, αναβλύζον Ιωάννη, Πνεύματι θείω ρείθρα ιάσεων.

Ο Οίκος.

Το πυρ της πίστεως Χριστού, εν τη καρδία φέρων, ανδρειοτάτω λογισμώ, αιχμαλωσίας τα δεινά, και της δουλείας τας πικράς, Πάτερ υπέστης θλίψεις, όλον γαρ σαυτόν Κυρίω αναθέμενος, Αγαρηνών ουκ έπτηξας το κράτος, αλλ' ελευθέρα και αδουλώτω ψυχή της εν Χριστώ αληθείας το μυστήριον ωμολόγησας, και πράξεσιν οσίαις, την δεδομένην χάριν τρανώς υπέδειξας. Και εν ιπποστασίω οικών, εν απαραμίλλω καρτερία ως άλλος Ιωβ, ταις προς Θεόν προσευχαίς τον νουν τω θείω κάλλει ανεπτέρωσας, και συντόνοις αγρυπνίαις, την σάρκα ελάμπρυνας, και ηγιασμένον σκεύος, των δωρεών του Παρακλήτου αληθώς εχρημάτισας. Και αρεταίς αιδέσιμος, και τοις τρόποις ένθεος φανείς, καλώς τον αγώνα ετέλεσας, και μετά δόξης Κυρίω μεθέστηκας, καταλιπών ημιν το θείον σκήνός σου, αναβλύζον Ιωάννη, Πνεύματι θείω, ρείθρα ιάσεων.

Συναξάριον.

Τη ΚΖ' του αυτού μηνός, Μνήμη του Οσίου και θεοφόρου Πατρός ημών Ιωάννου του Ρώσσου, του νέου Ομολογητού, του σημειοφόρου και θαυματουργού, ου το θείον λείψανον αχθέν εκ Μικράς Ασίας σώζεται αδιάφθορον, εν Νέω Προκοπίω της νήσου Ευβοίας.

Πλήρης χαρίτων ο αιχμάλωτος ώφθη, Αιχμαλωτίσας του σκότους τον προστάτην. Εικάδι εβδομάτη Ιωάννης Θεώ ένθεν ήρθη.

Ωδή ζ' . Εικόνος χρυσής

Ωραίαν στολήν, των καματων ιδρώσι πεποικιλμένην, περιεβάλου ανταμοιβήν, της ης υπέστης γυμνώσεως, έχων επί σοι το σαρκίον, και κραυγάζων τω Παντάνακτι· Ευλογητός ει ο Θεός, ο των Πατέρων ημών.

Αγίων ψυχαί, των Οσίων τε χορός, και η ασώματος, των Αγγελων τάξις προσεδέξαντο, συγχορευτήν σε Πατήρ ημών, κακουχίαις γαρ πολλαίς παλαίσας, μελωδείς αγαλλόμενος· Ευλογητός ει ο Θεός, ο των Πατέρων ημών.

Νεώσας ψυχήν, τω αρότρω προσευχής ω Ιωάννη, και κατασπείρας την εγκράτειαν, στάχυν αγνείας εθέρισας, η συνδιαιτώμενος μάκαρ, συν Αγγέλοις εκραύγαζες· Ευλογητός ει ο Θεός, ο των Πατέρων ημών.

Θεοτοκίον.

Εις Σε την εμήν, ανεθέμην εκ ψυχής ελπίδα πάσαν, και ατενίζω προσδεχόμενος, την θείαν όντως παράκλησιν πρόφθασον Αγνή Θεοτόκε, και χαρίτωσον τρίβον μοι, όπως ψάλλω προς ωεόν, των των Πατέρων ημών.

Έτερος. Ο Παίδας εκ καμίνου.

Ιδόντες εν τω τάφω σου Όσιε, το φως το ουράνιον, έσπευσαν πιστοί, και ευλαβεία και χαρά, εξ αυτού ανεκόμισαν Άγιε, το άφθαρτον και θειόν σου σκήνος, βλύζον χάριν ουράνιον.

Απαύστως ενεργών εν τοις θαύμασιν, οδίτας διέσωσας, τούτοις οραθείς, έφιππος Πάτερ εκ χειρών, των ληστών τη δοθείση σοι χαριτι, διο σε Ιωάννη τιμώμεν, ως μέγαν ημών έφορον.

Συρρέουσι τω θείω λειψάνω σου, ανθρώπων συστήματα, πίστει αρραγεί, και πάσαν δόσιν αγαθήν, και χαράν και υγείαν λαμβάνουσι, διο εν σοι η Εύβοια πάσα, Ιωάννης γάνυται.

Θεοτοκίον.

Γεννήσασα Θεόν τον ασώματον, αφράστως Πανάμωμε, σώματι θνητώ, αθανασίας την πηγήν, τοις φθορά υποκύψασιν ήνοιξας, διο Σε ανυμνούμνε Παρθένε, ως σωτηρίας πρόξενον.

Ωδή η’ . Τον εν καμίνω.

Νυν η αξίνη των πιστών, απειλεί την εκτομήν ψυχή μου σπεύσον, και παθών τας ακάνθας αποτεμούσα, καρπούς ωρίμου Κυρίω προσάγαγε, τοις του Ιωάννου ευχαίς διασώζεσθαι.

Η ιερά σου προς Θεόν, εκδημία ιερώς εμεγαλύνθη, προπομπαίς των Οσίων και Ασωμάτων χορίς, ων έσχες εν γη το πολίτευμα, βλάστημα Ρωσσίας, ω Ιωάννη μάκαρ.

Μυστηρίων των υπερφυών, εν τη εξόδω μεταλαβείν σου θέλοντος, προσεφέρθη σοι δια φόβον, εν μέσω μήλου, Σώμα και

Αίμα το ζωοπάροχον, Χριστού Ον στερνησάμενος, εξαπέπτης προς ουράνια.

Θεοτοκίον.

Ο καθαρώτατος ναός του Σωτήρός μου Χριστού και Βασιλέως, ο περίδοξος θρόνος ο υψηλός ουρανός, ο όντως άσυλος Παράδεισος, άνοιξόν μοι πύλας, Δέσποινα παραδείσου.

Έτερος. Αύτη η κλητή.

Είχε μεν το πριν, Καππαδόκων η χώρα, το θείον λείψανόν σου, ως θησαύρισμα μέγα, νυν δε τούτο σοφέ, κεκτημένη ως πηγήν αγιάσματος, η Εύβοια χαίρει, τοις θαύμασί σου Πάτερ.

Ράβδω μυστική, της σης χάριτος Πάτερ, πληγέντες την καρδίαν, οι το σον άγιον σκήνος, κατακαύσαι πυρί, βουληθέντες παράνομοι έπτηξαν, ως ζων γαρ αυτοίς ώφθης, της φλογός εν τω μέσω.

Άνωθεν φανείς, εν οράματι Πάτερ, εγνώρισας της κόρης, τους φονευτάς τοις αιτούσι, και ακάκω παιδί, την σην κλήσιν εφανέρωσας Άγιε, εκ της σης εικόνος, φωνήσας παραδόξως.

Θεοτοκίον.

Σάρκα εκ των Σων, παναγίων αιμάτων, λαβών αναλλοιώτως, ο Υπερούσιος Λόγος, διπλούς ώφθη ημίν, εν μια τη υποστάσει Πανάχραντε, και έσωσε κόσμον, της πάλαι αμαρτίας.

Ωδή θ’ . Τον εκ Θεού Θεόν Λόγον.

Απαρυσάμενος Πάτερ, εκ πηγής αεννάου, του πνεύματος την χάριν δαψιλώς, ω Ιωάννη μακάριε, ταύτην πάσι παρέχεις,

αφθόνως τοις την μνήμην σου πιστώς, εκτελούσι και πόθω, τον Κτίστην μεγαλύνουσι.

Κρουνούς η θήκη σου σκήνους, τοις θερμώς προσιούσι, πηγάζει ιαμάτων τοις πιστοίς, Ιωάννη Πατήρ ημών, και νοσήματα παύει, και πάντων αγιάζει τας ψυχάς, των εν πίστει και πόθω, αεί μακαριζόντων σε.

Συν Αποστόλοις χορεύων, και Οσίων τοις δήμοις, Αγίων τε τοις πλήθεσι σοφέ, εν ουρανίοις σκηνώμασι, Πατήρ ημών Ιωάννη, ικέτευε τον Κτίστην και Θεόν, υπέρ των τελούντων νυν πιστώς την ιεράν και σεπτήν μνήμην σου.

Θεοτοκίον.

Ως κραταιάν προστασίαν, ως ελπίδα και τείχος, και άγκυραν και σκέπην ασφαλή, ως απροσμάχητον έρεισμα, και αχείμαστον όρμον, και μόνην κραταιάν καταφυγήν, κεκτημένοι σε πάντες, σωζόμεθα Πανύμνητε.

Έτερος. Φωτίζου, φωτίζου.

Ιάσεις πηγάζων, και σώζων τους εν συμφοραίς, πανταχού Πάτερ σπεύδεις, τοις θερμώς καλούσί σε, όθεν πιστοί, ως προστάτην ταχύν, και βοηθόν, εν πάση ανάγκη, πλουτούντές σε μακαρίζομεν.

Μεγίστης ευκλείας, αξιωθείς παρά Θεού, εις αντάμειψιν Πάτερ, των πολλών αγώνων σου, μέγας ημών, αρωγός ώφθης σοφέ, όθεν Ιωάννη, μεγαλοφώνως σε γεραίρομεν.

Ο πλήρης χαρίτων, οία θεράπων του Χριστού, Ιωάννη παμμάκαρ, Εκκλησίας στήριγμα, δέξαι θερμώς, την παρούσαν

ωδήν, και φωτισμόν, αίτει τη ψυχή μου, ταις προς Θεόν ικεσίαις σου.

Θεοτοκίον.

Υψίστου καθέδρα, του εκ νηδύος Σου Αγνή, προελθόντος εδείχθης ως καλή και άμωμος, όθεν ημάς καλλοναίς αρετών, Ση αρωγή, κάλυνον Παρθένε, ίνα Χριστώ ευαρεστήσωμεν.

Εξαποστειλάριον. Των Μαθητών ορώντων σε.

Αιχμαλωσίας ήνεγκας τας κακώσεις, και εκ Θεού πλουσίως εμεγαλύνθης, εν θαυμάτων Άγιε δυνάμεσι, δι’ ων παρέχεις άπασι, βοήθειαν παραδόξως, ω Ιωάννη παμμάκαρ.

Έτερον. Γυναίκες ακουτίσθητε.

Φρικτόν ιδόντες θέαμα, εξέστησαν οι άφρονες, φως γαρ ην λάμπον άγιον, τω του Οσίου μνήματι, διο πιστοίς εμήνυον, θαύμα το υπερθαύμαστον, οι δε και ανασκάψαντες, εύρον ασύλητον όλβον, το του Ιωάννου σκήνος.

Αίνοι. Ήχος πλ. β’ . Ω του παραδόξου θαύματος.

Ω του παραδόξου θαύματος! Αγαρηνών παροικών, τοις αυτοίς ως αιχμάλωτος, εκ Τατάρων δέδοται, συλληφθείς αργυρώνητος, ο της Ρωσσίας γόνος πιστότατος, και Εκκλησίας, Χριστού τε γνήσιος, ούτος εν θλίψεσιν, εύρεν ως εζήτησε τον Ποιητήν, και πολλαίς δεήσεσιν, ο χαριτώνυμος.

Ω του παραδόξου θαύματος, εν ακαθάρτοις συνών, Ιωάννης ο ένθεος, καθαρός τω σώματι, και ψυχή όλος γέγονε, κοιτώνα έχων, το ιπποστάσιον, τροφήν τας ύβρεις και τα λακτίσματα, την τε

γυμνότητα, και το ψύχος άπαντα δια Χριστόν, ήνεγκε στερρότατα, ο τρισμακάριστος.

Δεύτε, μοναστών το σύστημα, την ιεράν και σεπτήν, του Οσίου πανήγυριν, Ιωάννου σήμερον, ευσεβώς ευφημήσωμεν, ούτος γαρ όντως θείας ελλάμψεως, κατηξιώθη, το φως εισδέξασθαι, ω της αρρήτου σου, προμηθείας Δέσποτα, δι' ης ημείς, έγνωμεν δοξάσειν σε, τον Ακατάληπτον.

Αίγλη, τριφαούς θεότητος, η ενοικούσα εν σοι, θαυμαστόν σε ανέδειξεν, ότι πνευματέμφορος, εκ των θείων λείψανων σου, εδέιχθης μάκαρ, όθεν τιμώμέν σου, ψαλμοίς και ύμνοις, μνήμην την ένθεον, οι προσπελάζοντες, τη σορώ σου Όσιε, και τη μορφή, της σεπτής Εικόνος σου, θεομακάριστε.

Δόξα. Ήχος πλ. β' .

Τις μη επαινέσει σε, τον όντως αξιέπαινον; η τις μη θαυμάσει σου τον τρόπον αξιοθαύμαστον; Ου γαρ ηρκέσθης χαριτώνυμε εν τη της αιχμαλωσίας κακαυχία, αλλ' έσπευσας, αυξήσαι αυτήν, δια των ασκητικών καμάτων και ιδρώτων. Ουκ επτοήθης δε το σύνολον, του φυλάττειν σεαυτόν εν ευσεβεία ενώπιον Αγαρηνών παρανόμων. Ύβρεις καθυπέμεινας, και γυμνότητας, και πάσαν άλλην θλίψιν. Δια πολλών γαρ επειράσθης, και δι' υπομονής εδοκιμάσθης εκ Θεού, Ιωάννη όντως μακάριε, Ον ικέτευε δεόμεθα, σωθήναι τας ψυχάς ημών.

Και νυν. Της εορτής.

Δοξολογία μεγάλη και Απόλυσις.

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Τα τυπικά, οι Μακαρισμοί, και εκ του Κανόνος του Αγίου, η γ’ καὶ στ’ ᾠδη.

Απόστολον του Αγ. Δημητρίου, ΚΣΤ’ Ὀκτωβρίου.

Ευαγγέλιον, του Αγ. Αντωνίου ΙΖ’ Ἰανουαρίου.

Κοινωνικόν: Εις μνημόσυνον αιώνιον…

Μεγαλυνάρια.

Άστρον εξ εώας ώφθης λαμπρόν, μάκαρ Ιωάννη, καταυγάζον τους ευσεβείς, χάριτι θαυμάτων, και νήσον της Ευβοίας, τω σω καθαγιάζεις, λειψάνω Άγιε.

Τον αστέρα πάντες τον φαεινόν, τον εκ Προκοπίου απαστράψαντα νοητώς, Οσίων το κλέος, και Καππαδόκων δόξαν, τον θείον Ιωάννην ύμνοις τιμήσωμεν.

